# ΙΩΑΝΝΟΥ Γ´

## *Salutation*

1 Ὁ πρεσβύτερος, Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ
ἀγαπῶ ἐν ἀληθείᾳ.
2 Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε
εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί
σου ἡ ψυχή. 3 Ἐχάρην γὰρ λίαν, ἐρχομένων
ἀδελφῶν καὶ μαρτυρούντων σου τῇ
ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.
4 Μειζοτέραν τούτων* οὐκ ἔχω χαράν,
ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν† ἀληθείᾳ
περιπατοῦντα.

## *Gaius is commended*

5 Ἀγαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ
εἰς τοὺς ἀδελφούς, καὶ εἰς τοὺς‡ ξένους
6 οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον
ἐκκλησίας—οὓς καλῶς ποιήσεις προπέμψας
ἀξίως τοῦ Θεοῦ, 7 ὑπὲρ γὰρ τοῦ Ὀνόματος§
ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν.*
8 Ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν†

---

* **1:4** τουτων *rell* ¦ ταυτης [10%] † **1:4** εν **f**$^{35}$ ℵ048$^{V}$ [97%] RP,HF,OC,TR,CP ¦ 1 τη A,B,C$^{V}$ [3%] NU ‡ **1:5** εις τους **f**$^{35}$ (90.1%) RP,HF,OC,TR,CP [2 (1.9%)] ¦ τουτο ℵA,B,C,048 (7.4%) NU ¦ two other variants (0.6%) (Is the reading of the eclectic text not inferior?) § **1:7** ονοματος *rell* ¦ 1 αυτου [15%] (AV's TR) * **1:7** εθνων **f**$^{35}$ (88.3%) RP,HF,TR,CP ¦ εθνικων ℵA,B(C)048 (11.7%) OC,NU † **1:8** απολαμβανειν **f**$^{35}$ (91.8%) RP,HF,OC,TR,CP ¦ υπολαμβανειν ℵA,B,C,048 (7.2%) NU ¦ λαμβανειν (0.6%) ¦ two other variants (0.4%)

τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα‡ τῇ ἀληθείᾳ.

## *Diotrephes is criticized*

9 Ἔγραψα§ τῇ ἐκκλησίᾳ, ἀλλ᾽ ὁ
φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ
ἐπιδέχεται ἡμᾶς. 10 Διὰ τοῦτο, ἐὰν ἔλθω,
ὑπομνήσω* αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς. Καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ† τῆς ἐκκλησίας ἐκβάλλει.

## *Demetrius is commended*

11 Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακόν, ἀλλὰ τὸ
ἀγαθόν. Ὁ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστιν·
ὁ δὲ‡ κακοποιῶν οὐχ ἑώρακεν τὸν Θεόν.
12 Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων—καὶ
ὑπ᾽§ αὐτῆς τῆς ἀληθείας. Καὶ ἡμεῖς δὲ

‡ **1:8** γινωμεθα *rell* ¦ γενωμεθα 048 [30%] CP ¦ γινομεθα C [3%] § **1:9** εγραψα **f**[35] C [88%] RP,HF,OC,TR,CP ¦ 1 τι ℵA(B) [2%] NU ¦ 1 αν 048 [10%] * **1:10** υπομνησω *rell* ¦ υπομνησων CP † **1:10** εκ *rell* ¦ — ℵ048 [20%] ‡ **1:11** δε **f**[35] [25%] TR ¦ — ℵA,B,C,048 [75%] RP,HF,OC,CP,NU (Would not John, a Jew, be more likely to write the conjunction?) § **1:12** ὑπ **f**[35] A,B,048 [99%] RP,HF,OC,TR,CP ¦ υπο ℵC [1%] NU

μαρτυροῦμεν, καὶ οἴδαμεν* ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστιν.

*Farewell*

13 Πολλὰ εἶχον γράφειν,† ἀλλ᾽ οὐ θέλω διὰ
μέλανος καὶ καλάμου σοι γράψαι·‡ 14 ἐλπίζω
δὲ εὐθέως ἰδεῖν σε,§ καὶ στόμα πρὸς στόμα
λαλήσομεν.*
15 Εἰρήνη σοι. Ἀσπάζονταί σε οἱ φίλοι.
Ἀσπάζου τοὺς φίλους κατ᾽ ὄνομα.†

---

* **1:12** οιδαμεν **f**[35] (23%) CP ¦ οιδατε (61.5%) RP,HF,OC,TR ¦ οιδας אA,B,C,048 (15.1%) NU ¦ οιδα (0.4%) (Soden mentions **K**[r] once in 2 John but not at all in 3 John, when he definitely should have. In 3 John 12 *TuT* lists **ALL** 78 basic **f**[35] MSS (±0 to ±3) for οιδαμεν, but Soden does not mention **K**[r] in support of this variant. Since he doesn't mention **K**[r] anywhere in 3 John, we should not trust his silence. The first person was unexpected and was changed to the expected second person—in the context I would say that the singular is a 'better' correction than the plural.) † **1:13** γραφειν **f**[35] [85%] RP,HF,OC,TR,CP ¦ γραψαι σοι אA,B,C(048[V]) [11%] NU ¦ 1 σοι [4%] ‡ **1:13** σοι γραψαι **f**[35] [85%] RP,HF,OC,TR,CP ¦ 1 γραφειν אB,C [3%] NU ¦ γραφειν 1 A,048 [8%] ¦ 21 [4%] § **1:14** ιδειν σε **f**[35] א (95%) RP,HF,OC,TR,CP ¦ 21 A,B,C,048 (4.8%) NU ¦ 1 (0.2%) * **1:14** λαλησομεν *rell* ¦ λαλησωμεν [20%] ¦ λαλησαι [1%] ¦ λαλησαι σοι [2%] † **1:15** ονομα *rell* ¦ 1 αμην [13%] CP [See the last footnote in Jude.]

# Η Καινή Διαθήκη
## The Greek New Testament According to Family 35, Wilbur Pickering

Copyright © 2020 Wilbur N. Pickering

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

Contributor: Dwayne Green, Robert A. Boyd

This translation is made available to you under the terms of the Creative Commons Attribution-Noncommercial-No Derivatives license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:
You include the above copyright and source information.
You do not sell this work for a profit.
You do not change any of the words or punctuation of the Scriptures.
Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

2024-02-21

---

PDF generated using Haiola and XeLaTeX on 29 Apr 2024 from source files dated 21 Feb 2024
cf64fb6f-e463-5ebb-820f-5a4a7bb37b73